ΜΕ. λέγ᾽· ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.
ΑΓ. λέγω πόνους σε μυρίους τλῆναι μάτην.
ΜΕ. παλαιὰ θρηνεῖς πήματ᾽· ἀγγέλλεις δὲ τί;
ΑΓ. βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτυχὰς
ἀρθεῖσ᾽ ἄφαντος· οὐρανῷ δὲ κρύπτεται
λιποῦσα σεμνὸν ἄντρον οὗ σφ᾽ ἐσῴζομεν,
τοσόνδε λέξασ᾽· ὦ ταλαίπωροι Φρύγες
πάντες τ᾽ Ἀχαιοί, δι᾽ ἔμ᾽ ἐπὶ Σκαμανδρίοις
ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνῄσκετε,
δοκοῦντες Ἑλένην οὐκ ἔχοντ᾽ ἔχειν Πάριν.
ἐγὼ δ᾽, ἐπειδὴ χρόνον ἔμειν᾽ ὅσον με χρῆν,
τὸ μόρσιμον σώσασα, πατέρ᾽ ἐς οὐρανὸν
ἄπειμι· φήμας δ᾽ ἡ τάλαινα Τυνδαρὶς
ἄλλως κακὰς ἤκουσεν οὐδὲν αἰτία.
ὦ χαῖρε, Λήδας θύγατερ, ἐνθάδ᾽ ἦσθ᾽ ἄρα;
ἐγὼ δέ σ᾽ ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
ἤγγελλον εἰδὼς οὐδὲν ὡς ὑπόπτερον
δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
ἡμᾶς τόδ᾽ αὖθις, ὡς ἄδην ἐν Ἰλίῳ
πόνους παρεῖχες σῷ πόσει καὶ συμμάχοις.
ΜΕ. τοῦτ᾽ ἔστ᾽ ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
οἱ τῆσδ᾽ ἀληθεῖς. ὦ ποθεινὸς ἡμέρα,
ἥ σ᾽ εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν.

ΕΛ. ὦ φίλτατ᾽ ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
παλαιός, ἡ δὲ τέρψις ἀρτίως πάρα.
ἔλαβον ἀσμένα πόσιν ἐμόν, φίλαι,
περί τ᾽ ἐπέτασα χέρα
φίλιον ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.